## LXXXI. — Περὶ τῆς τοῦ ἁμαρτήματος αἰτίας ὡς ἀπὸ τοῦ ἀνθρώπου.

### Περὶ τῆς μεταδόσεως τοῦ προγονικοῦ ἁμαρτήματος.

1. Περὶ τοῦτο πρῶτον δείκνυται, ὅτι τὸ προγονικὸν ἁμάρτημα διαδίδοται πρὸς τοὺς ἄλλους ὡς ἀπ' αἰτίας, τοῦ Ἀποστόλου λέγοντος ἐν πέμπτῳ τῆς πρὸς Ῥωμαίους· „Δι' ἑνὸς ἀνθρώπου θάνατος εἰς τὸν κόσμον εἰσῆλθεν", ὅπερ οὐ δυνατὸν νοεῖσθαι κατὰ τὸν τῆς μιμήσεως τρόπον διὰ τὸ λέγεσθαι ἐν δευτέρῳ τῆς Σοφίας· „Φθόνῳ διαβόλου θάνατος εἰς τὴν οἰκουμένην εἰσῆλθεν", οὐκοῦν ὡς ἀπ' αἰτίας· τὸ δὲ κατ' ἐνέργειαν ἁμάρτημα κάτεισιν ἀπὸ τοῦ πατρὸς εἰς τὸν υἱὸν διὰ τῆς μιμήσεως.

Εἰ δὲ καὶ ἡ ψυχὴ μὴ γεννᾶται διὰ τὸ τὴν τοῦ σπέρματος δύναμιν
f. 142 μὴ δύνασθαι αἰτίαν εἶναι ψυχῆς λογικῆς, κινεῖ μέντοι | πρὸς ταύτην τῷ διατιθέναι. Ὅθεν τῇ δυνάμει τοῦ σπέρματος μετάγεται ἡ ἀνθρωπίνη φύσις παρὰ τοῦ πατρὸς εἰς τὸ τέκνον, ἅμα δὲ τῇ φύσει καὶ ὁ τῆς φύσεως μολυσμός· κατὰ τοῦτο γὰρ ὁ γεννώμενος κοινωνὸς γίνεται τῆς ἁμαρτίας τοῦ πρώτου γονέως, ὅτι τυγχάνει τῆς φύσεως παρ' αὐτοῦ διά τινος γεννητικῆς κινήσεως.

Ἔτι, εἰ καὶ μὴ ἐνεργείᾳ ἐστὶν ἐν τῷ σπέρματι ἡ ἁμαρτία, ἔστι μέντοι ἐκεῖ ἡ ἀνθρωπίνη φύσις, ᾗ σύνεστιν ἡ τοιαύτη ἁμαρτία.

2. Δεύτερον, ὅτι τὰ ἄλλα ἁμαρτήματα τοῦ τε πρώτου ἀνθρώπου καὶ αὐτῶν τῶν προσεχῶν γονέων οὐ μετάγονται εἰς τοὺς ὕστερον· τὸ γὰρ ἀγαθὸν μᾶλλον ἑαυτοῦ μεταδοτικόν ἐστιν ἢ τὸ κακόν· τὰ δὲ ἀγαθὰ τῶν προσεχῶν γονέων οὐ καταβαίνουσιν εἰς τοὺς ὕστερον.

Πρὸς δὲ τό· „Ἐγώ εἰμι κύριος ζηλωτής, ἐπισκεπτόμενος ἀνομίας πατρὸς ἐπὶ τέκνα εἰς τρίτην καὶ τετάρτην γενεάν", καὶ τὸ τοὺς παῖδας τῶν καθοσιώσεων ἑαλωκότων ἐκπίπτειν τῆς τῶν πατέρων κληρονομίας, ἀνθρωπίνη κρίσις, ὃ δοκεῖ γίνεσθαι διὰ τὴν τοῦ ἁμαρτήματος κοινωνίαν, δεῖ λέγειν ὅτι, ὡς Αὐγουστῖνος φησὶν ἐν τῇ πρὸς Ἄνυτον ἐπιστολῇ, οὐδέποτε πνευματικῇ κολάσει κολάζονται οἱ υἱοὶ ὑπὲρ τῶν γονέων εἰ μὴ κἂν τῷ ἁμαρτήματι κοινωνοῖεν ἐκείνοις ἢ τῷ προελθεῖν ἀπ' ἐκείνων, ἢ τῷ μιμήσασθαι· πᾶσαι γὰρ αἱ ψυχαὶ ἀμέσως εἰσὶ παρὰ τοῦ Θεοῦ, ὡς ἐν δεκάτῳ ὀγδόῳ τοῦ Ἰεζεκιήλ· σωματικῇ δε κολάσει καὶ θείῳ καὶ ἀνθρωπίνῳ κολάζονται κρίματι οἱ υἱοὶ ὑπὲρ τῶν γονέων, καθόσον ὁ υἱὸς τοῦ πατρός τί ἐστι κατὰ τὸ σῶμα.

3. Τρίτον, ὅτι τὸ προγονικὸν ἁμάρτημα μεταβαίνει κατὰ διαδοχὴν εἰς τοὺς ἀνθρώπους πάντας, τοῦ Ἀποστόλου ἐν πέμπτῳ τῆς πρὸς Ῥωμαίους λέγοντος· „Ὁ θάνατος ἐπὶ πάντας διῆλθεν, ἐν ᾧ πάντες ἥμαρτον".

Πρὸς τοῦτο δοκεῖ ἐναντιοῦσθαι τὸ τοῦ αὐτοῦ ῥητὸν ἐν τετάρτῳ τῆς πρὸς Θεσσαλονικεῖς πρώτης· „Ἡμεῖς οἱ ζῶντες ἐν τῇ παρουσίᾳ τοῦ Κυρίου

---

6 Rom. 5, 12 8 Sap. 2, 24 23 Exod. 20, 5 36 Rom. 5, 12 38 I Thess. 4, 14

οὐ μὴ φθάσομεν τοὺς κοιμηθέντας“, τοῦτο δ' ἔστιν· „οὐ πάντες ἀποθανοῦνται“· ὁ δὲ θάνατος τιμωρία ἑπομένη τῷ προγονικῷ ἁμαρτήματι. Δεύτερον, οὐδεὶς δίδωσιν ἑτέρῳ ὃ μὴ αὐτὸς ἔχει· ἀλλ' ὁ βαπτισθεὶς | ἄνθρωπος f. 142v οὐκ ἔχει τὸ προγονικὸν ἁμάρτημα. Τρίτον, ὅτι ἡ τοῦ Χριστοῦ χάρις μείζων ἐστὶ τῆς τοῦ Ἀδὰμ ἁμαρτίας κατὰ τὸν Ἀπόστολον ἐν πέμπτῳ τῆς πρὸς Ῥωμαίους· ἀλλ' ἡ τοῦ Χριστοῦ χάρις οὐκ ἐπὶ τοὺς ἀνθρώπους ἅπαντας διαβαίνει.

Ἀλλὰ ῥητέον πρὸς τὸ πρῶτον, ὅτι ἐνδοξότερόν ἐστι καὶ κοινότερον πάντας τοὺς ἐν τῇ τοῦ Κυρίου παρουσίᾳ εὑρεθησομένους ἀποθανεῖσθαι καὶ μετὰ μικρὸν ἀναστήσεσθαι· εἰ δὲ ἀληθὲς εἴη τὸ παρά τινων λεγόμενον, ὡς οὐδέποτε ἐκεῖνοι ἀποθανοῦνται, ὧν τὴν δόξαν καταλέγων Ἱερώνυμος ἔν τινι πρὸς Μινέριον ἐπιστολῇ, καὶ αὐτὸς αὐτοῖς συμφωνεῖ, ῥητέον ὅτι, εἰ καὶ μὴ ἀποθανοῦνται, ἔστι μέντοι ἐν ἐκείνοις ἡ τοῦ θανάτου ἐνοχή, ἡ δὲ τιμωρία ἀνίεται παρὰ τοῦ Θεοῦ, ὃς καὶ τὰς τῶν κατ' ἐνέργειαν ἁμαρτημάτων κολάσεις χαρίζεσθαι δύναται. Πρὸς δὲ τὸ δεύτερον, ὅτι τὸ προγονικὸν ἁμάρτημα ἀναιρεῖται διὰ τοῦ βαπτίσματος τῇ ἐνοχῇ, καθόσον ἡ ψυχὴ ἀπολαμβάνει τὴν χάριν ὅσον κατὰ τὸν νοῦν· μένει μέντοι ἐνεργείᾳ ὅσον πρὸς . . . ὅς ἐστιν ἡ ἀταξία τῶν ταπεινοτέρων μερῶν τῆς ψυχῆς καὶ τοῦ σώματος αὐτοῦ, καθὸ ὁ ἄνθρωπος γεννᾷ, ἀλλ' οὐ κατὰ τὸν νοῦν, καὶ διὰ τοῦτο οἱ βαπτισθέντες μεταδιδόασι τοῦ προγονικοῦ ἁμαρτήματος· οὐ γὰρ γεννῶσι καθόσον ἀνεκαινίσθησαν διὰ τοῦ βαπτίσματος, ἀλλὰ καθὸ ἔτι κατέχουσί τι τῆς παλαιότητος τῆς πρώτης ἁμαρτίας. Πρὸς τὸ τρίτον, ὥσπερ τὸ τοῦ Ἀδὰμ ἁμάρτημα διαβαίνει ἐπὶ πάντας τοὺς ἐπὶ τοῦ Ἀδὰμ σωματικῶς γεννηθέντας, οὕτω καὶ ἡ τοῦ Χριστοῦ χάρις ἐπὶ πάντας διαβαίνει τοὺς ὑπ' αὐτοῦ πνευματικῶς γεννηθέντας διὰ πίστεως καὶ βαπτίσματος οὐχ ὅσον μόνον ἀνελεῖν τὸ προγονικὸν ἁμάρτημα, ἀλλὰ καὶ πρὸς τὸ ἀνελεῖν τὰ κατ' ἐνέργειαν ἁμαρτήματα καὶ πρὸς τὸ εἰσαγαγεῖν εἰς τὴν δόξαν.

4. Τέταρτον, ὅτι εἴ τις ἐκ τῆς ἀνθρωπείας σαρκὸς παραδόξως ἐπλάσθη οὐκ ἂν ἐφείλκετο τὸ προγονικὸν ἁμάρτημα· οὐ γὰρ ἂν ἦν ἐν τῷ Ἀδὰμ κατὰ τὸν σπερματικὸν λόγον, ὅπερ μόνον αἴτιόν ἐστι τῆς μεταβάσεως τοῦ προγονικοῦ ἁμαρτήματος.

5. Πέμπτον, ὅτι εἰ οὐκ ἂν ἥμαρτεν ὁ Ἀδάμ, τῆς Εὔας ἁμαρτούσης, οὐκ ἂν ἐφείλκοντο | τὸ προγονικὸν ἁμάρτημα οἱ υἱοί. Φησὶ γὰρ ὁ Ἀπόστολος f. 143 ἐν πέμπτῳ τῆς πρὸς Ῥωμαίους· „Δι' ἑνὸς ἀνθρώπου ἡ ἁμαρτία εἰς τὸν κόσμον εἰσῆλθεν“· μᾶλλον δ' ἂν ἦν οἰκειότερον λέγειν· *διὰ δύο εἰσελθεῖν*, καί· *τῶν δύο ἁμαρτόντων*· ἢ μᾶλλον· *διὰ τῆς γυναικός*, ἣ πρῶτον ἥμαρτεν, εἰ τὸ προγονικὸν ἁμάρτημα εἰς τὸ τέκνον παρέπεμπεν

18 Passage laissé en blanc dans A; il manque la traduction du mot *fomes*
34 Rom. 5, 12

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἡ γυνή. Οὐκ ἄρα ἀπὸ τῆς γυναικὸς τὸ προγονικὸν ἁμάρτημα κάτεισιν εἰς τοὺς υἱούς, ἀλλ' ἀπὸ τοῦ πατρός. Εἰ δὲ καὶ ἐν τῇ μητρὶ προϋφέστηκεν ὁ υἱός, ἀλλ' ὡς ἐν ὑλικῇ καὶ παθητικῇ ἀρχῇ· ἐν δὲ τῷ πατρὶ ὡς ἐν ποιητικῇ.

## LXXXII. — Περὶ τῆς οὐσίας τοῦ προγονικοῦ ἁμαρτήματος.

1. Περὶ τοῦτο δείκνυται πρῶτον, ὅτι τὸ προγονικὸν ἁμάρτημα ἕξις ἐστίν· διπλῆ γάρ ἐστιν ἡ ἕξις· μία μέν, ᾗ κινεῖται τις δύναμις πρὸς τὸ ἐνεργεῖν, ὡς αἱ ἐπιστῆμαι καὶ αἱ ἀρεταί· καὶ τοῦτον τὸν τρόπον τὸ προγονικὸν ἁμάρτημα οὐκ ἔστιν ἕξις· ἄλλη δέ, διάθεσίς τινος φύσεως ἐκ πολλῶν συγκειμένης, καθ' ἣν εὖ ἢ κακῶς διάκειται πρός τι, καὶ μάλιστα ὅταν ἡ τοιαύτη διάθεσις εἰς φύσιν μεταγραφῇ, ὡς ἐπὶ τῆς νόσου καὶ τῆς ὑγείας· καὶ τοῦτον τὸν τρόπον τὸ προγονικὸν ἁμάρτημα ἕξις ἐστίν· ἔστι γάρ τις ἄτακτος διάθεσις προϊοῦσα ἀπὸ τῆς διαλύσεως τῆς ἁρμονίας ἐκείνης, ἐν ᾗ συνίσταται ὁ τῆς ὑγείας λόγος· ὅθεν τὸ προγονικὸν ἁμάρτημα νόσος τῆς φύσεως λέγεται.

2. Δεύτερον, ὅτι ἐστὶν ἕν· ἐν γὰρ τῷ πρώτῳ τοῦ κατὰ Ἰωάννην λέγεται· „Ἰδοὺ ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου".

3. Τρίτον, ὅτι τοῦτο ἐπιθυμία ἐστίν· φησὶ γὰρ Αὐγουστῖνος ἐν τῷ τῶν διορθώσεων βιβλίῳ· „Ἡ ἐπιθυμία ἐστὶν ἡ ἐνοχὴ τοῦ προγονικοῦ ἁμαρτήματος".

4. Τέταρτον, ὅτι ἐν πᾶσιν ἐπίσης ἐστίν· φύσεως γάρ ἐστιν ἁμάρτημα, ὡς εἴρηται.

## LXXXIII. — Περὶ τοῦ ὑποκειμένου αὐτοῦ.

1. Περὶ τοῦτο δείκνυται πρῶτον, ὅτι ὑποκείμενον τοῦ προγονικοῦ ἁμαρτήματός ἐστιν ἡ ψυχὴ μόνον· τὸ γὰρ αὐτὸ ὑποκείμενον τῆς ἀρετῆς καὶ τοῦ πάθους ἢ τῆς ἁμαρτίας, ἣ ἐναντιοῦται τῇ ἀρετῇ· ἀλλ' ἡ σάρξ
f. 143v οὐ δύναται εἶναι ὑποκείμενον ἀρετῆς, τοῦ Ἀποστόλου λέγοντος | ἐν ἑβδόμῳ τῆς πρὸς Ῥωμαίους· „Οἶδα γάρ, ὅτι οὐκ οἰκεῖ ἐν ἐμοί, τουτέστιν ἐν τῇ σαρκί μου, ἀγαθόν".

Ἔτι, διχῶς τι λέγεται εἶναι ἄλλο ἐν ἄλλῳ· ἕνα μὲν τρόπον, ὡς ἐν αἰτίᾳ ἢ ἀρχοειδεῖ, ἢ ὀργανικῇ· ἕτερον δὲ τρόπον, ὡς ἐν ὑποκειμένῳ. Τὸ προγονικὸν τοίνυν ἁμάρτημα ἦν μὲν ἐν τῷ Ἀδὰμ ὡς ἐν πρώτῃ καὶ ἀρχικῇ αἰτίᾳ, κατὰ τὸ δέκατον τῆς πρὸς Ῥωμαίους· „Ἐν ᾧ πάντες ἥμαρτον"· ἐν δὲ τῷ σπέρματι ὡς ἐν αἰτίᾳ ὀργανικῇ διὰ τὸ τῇ ἐνεργητικῇ δυνάμει τοῦ ἁμαρτήματος κατάγεσθαι τὸ προγονικὸν ἁμάρτημα εἰς τὸ τέκνον ἅμα τῇ ἀνθρωπίνῃ φύσει· ὡς ἐν ὑποκειμένῳ δέ ἐστιν ἐν τῇ ψυχῇ μόνον· πρόεισι δὲ διὰ τῆς ψυχῆς εἰς τὴν σάρκα οὐ λόγῳ ἁμαρτήματος, ἀλλὰ τιμωρίας.

---

17 Ioh. 1, 29   29 Rom. 7, 23   34 Rom. 5, 12

Ε.Υ.Δ της ΚΕ.Π
ΙΩΑΝΝΙΝΑ 2006

2. Δεύτερον, ὅτι ἡ ψυχὴ κατὰ τὴν οὐσίαν μᾶλλον ἢ τὰς δυνάμεις αὐτῆς ἐστιν ὑποκείμενον αὐτοῦ· φύσεως γὰρ ἁμάρτημα ἢ φυσικὸν λέγεται· ἡ δὲ ψυχὴ κατὰ τὴν αὐτῆς οὐσίαν, οὐ κατὰ τὰς δυνάμεις, ἐστὶν εἶδος καὶ φύσις τοῦ σώματος.

3. Τρίτον, ὅτι πρότερον αὐτὸ μολύνει τὴν θέλησιν, ὅτι καὶ ἡ προγονικὴ δικαιοσύνη κατὰ προηγούμενον λόγον εἰς τὴν θέλησιν ἀφορᾷ· ἔστι γὰρ αὐτῆς θελήσεως κατὰ τὸν Αὐγουστῖνον.

4. Τέταρτον, ὅτι ὁ μολυσμὸς τοῦ προγονικοῦ ἁμαρτήματος μάλιστα εἰς τὰ τρία ταῦτα ἀνήκει, τουτέστι τὴν γεννητικὴν δύναμιν, τὴν ἐπιθυμητικὴν καὶ τὴν τῆς ἁφῆς αἴσθησιν.

## LXXXIV. — Περὶ τῆς τοῦ ἁμαρτήματος αἰτίας καθὸ ἐστιν ἓν ἁμάρτημα ἑτέρου αἴτιον.

1. Περὶ τοῦτο δείκνυται πρῶτον, ὅτι ἡ φιλαργυρία ῥίζα πάντων ἐστὶ τῶν κακῶν, τοῦ Ἀποστόλου ἐν ἐσχάτῳ τῆς πρὸς Τιμόθεον πρώτης οὕτω λέγοντος.

2. Δεύτερον, ὅτι καὶ ἡ ὑπερηφανία, ὡς ἐν τῷ τετάρτῳ τοῦ Ἐκκλησιαστοῦ· „Ἀρχὴ παντὸς ἁμαρτήματος ὑπερηφανία".

3-4. Τρίτον, ὅτι καὶ ἄλλα πέντε εἰσὶ κορυφαῖα πάθη, τοῦ Γρηγορίου ἐν εἰκοστῷ πρώτῳ τῶν ἠθικῶν ἀριθμοῦντος εἰδικά τινα πάθη, ἃ καλεῖ κορυφαῖα, ἤγουν κενοδοξίαν, φθόνον, ὀργήν, λύπην, φιλοχρηματίαν, γαστριμαργίαν.

## LXXXV. — Περὶ τῆς φθορᾶς τοῦ ἀγαθοῦ τῆς φύσεως.

1. Περὶ ὃ πρῶτον δείκνυται, ὅτι τὸ ἁμάρτημα ἐλαττοῖ τὸ τῆς φύσεως ἀγαθόν. | Εἰδέναι δὲ δεῖ, ὅτι τὸ τῆς φύσεως ἀγαθὸν τριχῶς λέγεται· πρῶτον, f. 144
αὐταὶ τῆς φύσεως αἱ ἀρχαί, ἐξ ὧν ἡ φύσις συνίσταται καὶ τὰ ἐξ αὐτῶν ἰδιώματα, ὥσπερ αἱ τῆς ψυχῆς δυνάμεις καὶ τὰ ἄλλα τὰ τοιαῦτα· δεύτερον, ἐπειδὴ ὁ ἄνθρωπος παρὰ τῆς φύσεως ἔχει ῥοπήν τινα πρὸς τὴν ἀρετήν, ὡς εἴρηται, αὕτη ἡ πρὸς τὴν ἀρετὴν ῥοπὴ ἀγαθόν τί ἐστι τῆς φύσεως· τρίτον, τὸ δῶρον τῆς προγονικῆς δικαιοσύνης, ὅπερ ἐν τῷ πρώτῳ ἀνθρώπῳ ἐναπετέθη ὅλῃ τῇ ἀνθρωπίνῃ φύσει. Τὸ μὲν οὖν πρῶτον τῆς φύσεως ἀγαθὸν οὔτ' ἀναιρεῖται, οὔτ' ἐλαττοῦται διὰ τῆς ἁμαρτίας· τὸ δὲ τρίτον τῆς φύσεως ἀγαθὸν παντελῶς ἀνῄρηται διὰ τῆς προγονικῆς ἁμαρτίας· τὸ δὲ μέσον, τουτέστιν ἡ πρὸς τὴν ἀρετὴν φυσικὴ ῥοπή, ἐλαττοῦται διὰ τῆς ἁμαρτίας· διὰ γὰρ τῶν ἀνθρωπίνων ἐνεργειῶν γίνεταί τις ῥοπὴ πρὸς τὰς ὁμοίας ἐνεργείας, ὡς εἴρηται· ἀνάγκη οὖν ἐκ τοῦ ἐπὶ θάτερον τῶν ἐναντίων ῥέπειν ἐλαττοῦσθαι τὴν ἐπὶ τὸ λοιπὸν ῥοπήν.

2. Δεύτερον, ὅτι οὐχ ὅλως ἀναιρεῖται διὰ τῆς ἁμαρτίας. Κατὰ γὰρ τὸν Αὐγουστῖνον, τὸ κακὸν οὐκ ἔστιν εἰ μὴ ἐν τῷ ἀγαθῷ· εἰ γοῦν μὴ



ΙΩΑΝΝΙΝΑ 2006

δύναται εἶναι τὸ τῆς ἁμαρτίας κακὸν ἐν τῷ τῆς ἀρετῆς ἀγαθῷ, ἢ τῆς χάριτος, ἀνάγκη εἶναι ἐν τῷ τῆς φύσεως, καὶ οὕτως οὐ παντελῶς τοῦτ' ἀναιρεῖ.

3. Τρίτον, ὅτι τραύματα τῆς φύσεως ἐπακολουθήσαντα τῇ ἁμαρτίᾳ λέγονται εἶναι τέσσαρα· ἀσθένεια, ἄγνοια, πονηρία, ἐπιθυμία.

4. Τέταρτον, ὅτι ἡ στέρησις τοῦ ῥυθμοῦ καὶ τοῦ εἴδους καὶ τῆς τάξεως εἰσὶ τῆς ἁμαρτίας ἀποτελέσματα, ὥσπερ ἡ νόσος τοῦ σώματος στερεῖ τὸν ῥυθμόν, τὸ εἶδος καὶ τὴν τάξιν αὐτοῦ τοῦ σώματος.

5. Πέμπτον, ὅτι ὁ θάνατος καὶ αἱ ἄλλαι σωματικαὶ ἀσθένειαι τῆς ἁμαρτίας εἰσὶν ἀποτελέσματα, οὐ καθ' αὑτὴν αἰτίας οὔσης αὐτῶν τῆς ἁμαρτίας· εἰσὶ γὰρ ταῦτα παρὰ τὸν σκοπὸν τοῦ ἁμαρτάνοντος· ἀλλὰ κατὰ συμβεβηκός, καθόσον ἡ προγονικὴ δικαιοσύνη διὰ τοῦ ἁμαρτήματος ἐκείνου ἀνῄρηται, δι' ἧς καὶ αἱ ταπεινότεραι τῆς ψυχῆς δυνάμεις συνείχοντο ὑπὸ τοῦ λόγου ἄνευ τινὸς ἀταξίας καὶ ὅλον τὸ σῶμα ὑπὸ τὴν
f. 144v ψυχὴν ἦν | ἄνευ ἀσθενείας τινός· καὶ διὰ τοῦτο, ἀφαιρεθείσης ἐκείνης τῷ ἁμαρτήματι, ὥσπερ πεπληγμένη ἐστὶν ἡ ἀνθρωπίνη φύσις ὅσον κατὰ ψυχὴν διὰ τῆς τῶν δυνάμεων ἀταξίας, καὶ ὅσον κατὰ σῶμα διὰ τῆς ἀταξίας αὐτοῦ. Ἡ δὲ τῆς προγονικῆς δικαιοσύνης ἀφαίρεσις κολάσεως λόγον ἔχει· οὐκοῦν καὶ αἱ ἐπακολουθήσασαι σωματικαὶ ἀσθένειαι.

Εἰ δέ, ἴσου ὄντος ἐν πᾶσι τοῦ προγονικοῦ ἁμαρτήματος, αἱ τοιαῦται ἀσθένειαι οὐκ εἰσὶν ἐν ἅπασιν ἴσαι, θαυμάζειν οὐ δεῖ· ἡ γὰρ ἰσότης τῆς καθ' αὑτὴν αἰτίας αἰτία ἐστὶν τῆς ἐν τοῖς ἀποτελέσμασιν ἰσότητος· ἡ δὲ ἰσότης τῆς αἰτίας τῆς ἀναιρούσης τὸ κωλῦον, οὐχί· ὃ δῆλον, εἴ τις ἴσῃ ὠθήσει ὑποσπάσειε δύο κίονας, οἷς ἐπίκεινται λίθοι· οὐ γὰρ ἀνάγκη τοὺς ἐπικειμένους ὁμοίως κινηθῆναι, ἀλλὰ τοὺς βαρυτέρους θᾶττον κατὰ τὴν ἰδιότητα αὐτῶν, ἐφ' ᾗ καταλείπονται, ἀναιρεθέντος τοῦ κωλύοντος· οὕτω καὶ ἐνταῦθα· ἡ φύσις ἑαυτῇ κατελείφθη μετὰ τὴν ἀναίρεσιν τῆς φυσικῆς δικαιοσύνης ἐκείνης, καὶ οὕτω κατὰ τὴν φυσικὴν διαφορὰν τῆς κράσεως τῶν σωμάτων καὶ πλείοσιν ἀσθενείαις καὶ μείζοσιν ὑπέπεσεν ἔν τισιν, καὶ ἐν ἄλλοις ἐλάττοσι, καίτοι τοῦ προγονικοῦ ἁμαρτήματος ἴσου ὄντος.

Καὶ τὸ ἀναιρεῖσθαι δὲ διὰ τοῦ βαπτίσματος, ἢ τῆς μετανοίας πᾶσαν ἁμαρτίαν, τὰς δὲ τοιαύτας ἀσθενείας οὐκ ἀναιρεῖσθαι οὐδὲν προσίσταται· ὑπὸ τοῦ αὐτοῦ μὲν γὰρ ἀναιρεῖται καὶ τὸ προγονικὸν ἁμάρτημα καὶ τὸ κατ' ἐνέργειαν καὶ τὰ αὐτοῖς ἑπόμενα πάντα, τῷ προσήκοντι μέντοι καιρῷ κατὰ τὴν τάξιν τῆς θείας δικαιοσύνης· ἀνάγκη γὰρ πρὸς τὴν ἐν τῇ δόξῃ ἀθανασίαν καὶ ἀπάθειαν τὴν ἐν Χριστῷ ἀρξαμένην καὶ δι' αὐτοῦ ἡμῖν χαρισθεῖσαν ἡμᾶς καταντῆσαι, συμμορφωθέντας πρότερον τοῖς αὐτοῦ πάθεσιν· ὅθεν ἀνάγκη ἐπί τινα χρόνον τὸ παθητὸν ἐν τοῖς ἡμετέροις σώμασι διαμεῖναι πρὸς τὸ τῆς ἐν τῇ δόξῃ ἀπαθείας ἀξιωθῆναι τῇ τοῦ Χριστοῦ συμμορφώσει.

Ε.Υ.Δ. της Κτ.ΙΙ ΙΩΑΝΝΙΝΑ 2006

6. Ἕκτον, ὅτι οὐκ εἰσὶ φυσικὰ τῷ ἀνθρώπῳ ὁ θάνατος καὶ αἱ ἀσθένειαι· „Ὁ γὰρ Θεὸς θάνατον οὐκ ἐποίησεν“, ὡς ἐν τῇ Σοφίᾳ λέγεται.

## LXXXVI. — Περὶ τοῦ ῥύπου τῆς ἁμαρτίας. f. 145

1. Περὶ τοῦτο πρῶτον δείκνυται, ὅτι ἡ ἁμαρτία κηλῖδος αἰτία τῇ ψυχῇ γίνεται καθ' ὁμοιότητα τῶν σωμάτων, ἃ τὴν ἑαυτῶν ἀπολλύουσι καθαρότητα προσψαύσει ῥυπαροῦ τινος σώματος. Διπλῆ δὲ καθαρότης τῇ τοῦ ἀνθρώπου ψυχῇ ἔνεστιν· ἥ τε ἐκ τῆς λαμπρότητος τοῦ φυσικοῦ φωτὸς τοῦ λόγου, δι' ἧς εἰς τὰς ἑαυτῆς ἰθύνεται πράξεις, καὶ ἡ ἐκ τῆς τοῦ θείου φωτός, τουτέστι τῆς σοφίας καὶ τῆς χάριτος, δι' ἧς τελειοῦται πρὸς τὸ καλῶς καὶ πρεπόντως ἐνεργεῖν. Ἔστι δὲ ὥσπερ τις ἀφὴ τῆς ψυχῆς, ὅταν συνάπτηταί τισι δι' ἀγάπης, καὶ διὰ τοῦτο ἡ τῆς καθαρότητος ἀπώλεια τῇ ψυχῇ ἐκ τοῦ συναφθῆναί τισιν ἐναντίως τῷ τοῦ λόγου καὶ τοῦ θείου νόμου φωτὶ ῥύπος μεταφορικῶς λέγεται.

Ἰστέον δὲ ὅτι, εἰ καὶ ὁ νοῦς ἐκ τῶν νοητῶν οὐ μολύνεται, ᾗ εἰσιν ἐν αὐτῷ, τελειοῦται μὲν οὖν, ἀλλὰ διὰ τὸ τὴν τῆς θελήσεως ἐνέργειαν συνίστασθαι ἐν τῇ πρὸς τὰ πράγματα κινήσει, ὥστε τῇ ἀγάπῃ τὴν ψυχὴν συγκολλᾶσθαι τῷ ἐραστῷ, μολύνεται ἡ ψυχή, ὅταν ἀτάκτως ἐκείνοις συνάπτηται, ὡς ἐν τῷ εἰκοστῷ τοῦ Ὡσηέ· „Γεγόνασι βδελλυκτοὶ ὥσπερ ἐκεῖνα ἃ ἠγάπησαν“.

2. Δεύτερον, ὅτι ὁ ῥύπος μένει ἐν τῇ ψυχῇ μετὰ τὴν πρᾶξιν τοῦ ἁμαρτήματος· ἐν γὰρ τῷ εἰκοστῷ δευτέρῳ τοῦ Ἰησοῦ λέγεται· „Ἦ μικρόν ἐστιν ὑμῖν, ὅτι ἡμάρτετε ἐν Βελφεγώρ; καὶ μέχρι τῆς παρούσης ἡμέρας ὁ ῥύπος τοῦ ἀνομήματος τούτου ἐν ὑμῖν ἐστίν“. Μένει δὲ εὐλόγως, φθορὰ τῆς καθαρότητος ὤν, διὰ τὴν ἀποχώρησιν τοῦ φωτός. Μετὰ δὲ τὸ ἐπανελθεῖν εἰς αὐτὸ διὰ τῆς χάριτος, παύεται ὁ ῥύπος.

Εἰ δὲ καὶ παύεται ἡ τῆς ἁμαρτίας ἐνέργεια, ᾗ ὁ ἄνθρωπος ἀπεχώρησε τοῦ εἰρημένου φωτός, ἀλλ' οὐκ εὐθὺς ἐπάνεισιν οὗ πρότερον ἦν, ἀλλὰ ζητεῖταί τις κίνησις τῆς θελήσεως σύμφωνος τῇ προτέρᾳ κινήσει· ὥς γὰρ παυσαμένης τῆς τοπικῆς κινήσεως οὐκ ἀναιρεῖται ἡ τοπικὴ διάστασις, ἀλλ' ἀνάγκη διὰ τῆς ἐναντίας κινήσεως ἐγγίσαι ἐπανιόντα, οὕτως οὐδὲ παυσαμένης τῆς | τοῦ ἁμαρτήματος ἐνεργείας ἀναιρεῖται ὁ ῥύπος, τό τε f. 145v τὸν ῥύπον ἔχειν πρὸς τὴν ἁμαρτίαν ὡς ἡ σκιὰ πρὸς τὸ ἀντιφρᾶττον σῶμα οὐκ ἀναγκάζει, παυσαμένης τῆς ἁμαρτίας, παρέρχεσθαι τὸν ῥύπον, ὡς ἐκεῖ τοῦ σώματος ἡ σκιά· ἐκεῖ μὲν γάρ, παρελθόντος τοῦ ἀντιφράττοντος, μένει τὸ διαφανὲς σῶμα ἐν τῇ ἴσῃ ἐγγύτητι καὶ σχέσει πρὸς τὸ φωτίζον σῶμα· τῆς δὲ πράξεως τοῦ ἁμαρτήματος παρελθούσης, οὐ μένει ἡ ψυχὴ ἐν τῇ αὐτῇ ἐγγύτητι πρὸς τὸν Θεόν.

---

2 Sap. 1, 13  19 Os. 9, 10  22 Ios. 22, 17

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## LXXXVII. — Περὶ τῆς ἐνοχῆς τῆς δίκης.

1. Περὶ τοῦτο πρῶτον δεῖ θεωρεῖν, ὅτι ἡ ἐνοχὴ τῆς δίκης ἐστὶν ἁμαρτίας ἀποτέλεσμα· ὁ γὰρ ἁμαρτάνων ἐναντίως τῇ τάξει δρᾷ, καὶ διὰ τοῦτο δεῖ πιέζεσθαι ὑπ' αὐτῆς τῆς τάξεως καὶ τοῦ αὐτῆς ἄρχοντος. Ὑπόκειται δὲ τριπλῇ τάξει· τῇ τοῦ ἰδίου λόγου, τῇ τοῦ ἔξωθεν κυβερνῶντος ἀνθρώπου ἢ πνευματικῶς, ἢ σωματικῶς, πολιτικῶς ἢ οἰκονομικῶς, καὶ τῇ καθόλου τάξει τῆς θείας ἀρχῆς· ἑκάστην δὲ τάξιν ἀνατρέπων καὶ τριπλῆν δίκην ὑπέχει· τὴν ὑφ' ἑαυτοῦ, ἥ ἐστι τὰ τοῦ συνειδότος δήγματα, τὴν παρὰ τοῦ ἀνθρώπου καὶ τὴν παρὰ τοῦ Θεοῦ. Οὐκ ἔστι δὲ ἡ δίκη τῆς ἁμαρτίας ἀποτέλεσμα, ἀλλ' ἡ τῆς δίκης ἐνοχή· αὕτη γὰρ κακόν, ἐκείνη δὲ ἀγαθόν, Διονυσίου λέγοντος ἐν τετάρτῳ τοῦ περὶ θείων ὀνομάτων, ὅτι οὐ τὸ κολάζεσθαι κακόν, ἀλλὰ τὸ κολάσεως ἄξιον γίνεσθαι.

2. Δεύτερον, ὅτι ἁμαρτία τιμωρία ἁμαρτίας γίνεται, ὅτι καὶ αὐτὸ τὸ κολάζεσθαί τινας παρὰ τοῦ Θεοῦ, παραχωροῦντος ἐμπίπτειν αὐτοὺς εἴς τινα τῶν ἁμαρτημάτων, πρὸς τὸ τῆς ἀρετῆς ἀγαθὸν τάττεται ποτὲ μὲν αὐτῶν τῶν ἁμαρτανόντων, ὅταν δηλονότι μετὰ τὴν ἁμαρτίαν ταπεινότεροι καὶ ἀσφαλέστεροι ἐκ ταύτης διαναστῶσιν, ἀεὶ δὲ πρὸς τὴν τῶν ἄλλων διόρθωσιν, οἵ, βλέποντες ἑτέρους εἰς ἁμαρτίαν ἐξ ἁμαρτίας ἐμπίπτοντας, δεδοίκασι μᾶλλον ἁμαρτάνειν. Ἐν τούτοις δὲ τοῖς δυσὶ τρόποις φανερόν,
f. 146 ὅτι ἡ τιμωρία τάττεται πρὸς διόρθωσιν· αὐτὸ γὰρ τὸ τὸν ἄνθρωπον | πόνον καὶ ζημίαν ὑφίστασθαι ἐν τῷ ἁμαρτάνειν πέφυκε τῆς ἁμαρτίας ἀφέλκειν τὸν ἄνθρωπον.

3. Τρίτον, ὅτι τὸ ἁμάρτημα αἰωνίου τιμωρίας ἔνοχον ποιεῖ τὸν ἄνθρωπον, ὡς ἐν τῷ κατὰ Ματθαῖον· „Ἀπελεύσονται οὗτοι εἰς κόλασιν αἰώνιον“· καὶ ἐν τῷ κατὰ Μάρκον· „Ὁ δὲ βλασφημήσας εἰς τὸ ἅγιον Πνεῦμα οὐκ ἔχει ἄφεσιν εἰς τὸν αἰῶνα, ἀλλ' ἔστιν ἔνοχος αἰωνίας κατακρίσεως“. Ὡς γὰρ εἴρηται, διὰ τοῦτο ἡ ἁμαρτία κόλασιν ἐπάγει, ὅτι διαστρέφει τινὰ τάξιν· μενούσης δὲ τῆς αἰτίας, μένει καὶ τὸ ἀποτέλεσμα· ὅθεν ἐφόσον μένει ἡ τῆς τάξεως ἀνατροπή, ἀνάγκη καὶ τὴν τῆς τιμωρίας ἐνοχὴν μένειν. Ἀνατρέπει δέ τις τάξιν τινὰ ποτὲ μὲν ὡς πεφυκυῖαν πάλιν ἐπιδιορθωθῆναι, ποτὲ δὲ ἀδιορθώτως· ἀεὶ δὲ ἡ ἀταξία, ᾗ ἀναιρεῖται ἡ ἀρχή, ἀδιόρθωτός ἐστι· μενούσης δὲ τῆς ἀρχῆς, τῇ ταύτης δυνάμει δύναται ἐπιδιορθωθῆναι ἡ ἀταξία, ὥσπερ τῆς ὀπτικῆς ἀρχῆς φθαρείσης, ἀδύνατον ἐπιδιορθωθῆναι τὴν ὄψιν ἄνευ θείας δυνάμεως· εἰ δέ, σῳζομένης τῆς ὀπτικῆς ἀρχῆς, ἐπέλθοι τινὰ κωλύματα τῇ ὄψει, δύνανται ἢ φύσει ἢ τέχνῃ διορθωθῆναι. Πάσης δὲ τάξεως ἔστι τις ἀρχή, δι' ἧς μετέχει τις ἐκείνης τῆς τάξεως, καὶ διὰ τοῦτο, εἰ τῆς τάξεως ἐκείνης ἡ ἀρχὴ διὰ τῆς ἁμαρτίας φθαρείη, δι' ἧς ἡ τοῦ ἀνθρώπου θέλησις ὑποτάττεται τῷ Θεῷ,

24 Matth. 25, 46 25 Marc. 3, 29

Ε.Υ.Δ της ... ΙΩΑΝΝΙΝΑ 2006

ἐστι καὶ ἡ ἀταξία ἐκείνη, ὅσον τὸ καθ' αὑτόν, ἀδιόρθωτος, καὶ εἰ δύναιτο διορθωθῆναι, δυνάμει θείᾳ τοῦτ' ἔσται. Ἀρχὴ δὲ τῆς τάξεως ταύτης τὸ ἔσχατόν ἐστι τέλος, ᾧ προσκολλᾶται ὁ ἄνθρωπος δι' ἀγάπην, καὶ διὰ τοῦτο ὅσα τῶν ἁμαρτημάτων ἀπάγουσιν ἀπὸ τοῦ Θεοῦ, τὴν ἀγάπην ἀναιροῦντα ὅσον τὸ κατ' ἐκεῖνα, αἰωνίαν ἐπάγουσι κόλασιν.

Εἰ δέ τις λέγοι· ἀλλὰ μὴν ἡ δικαία τιμωρία ἐξισοῦται τῷ πταίσματι· ἰσότης γὰρ ἡ δικαιοσύνη· τὸ δὲ ἁμάρτημα πρόσκαιρόν ἐστιν· ἀλλ' εἰδέναι | δεῖ, ὅτι ἡ τοῦ πταίσματος τιμωρία ἀνάλογός ἐστι τῇ ἁμαρτίᾳ κατὰ τὴν f. 146v
δριμύτητα ἔν τε τῇ θείᾳ κρίσει καὶ τῇ ἀνθρωπίνῃ, ἐν οὐδεμιᾷ δὲ κρίσει ζητεῖται τὴν τιμωρίαν ἐξισοῦσθαι τῷ πταίσματι κατὰ τὸν χρόνον· οὐδὲ γὰρ διὰ τὸ τὴν μοιχείαν ἢ τὸν φόνον ἐν τῷ ἀκαριαίῳ τολμᾶσθαι ἤδη καὶ ἀκαριαίᾳ τιμωρίᾳ κολάζεται, ἀλλὰ ποτὲ μὲν εἱρκτῇ διηνεκεῖ ἢ φυγῇ, ποτὲ δὲ καὶ θανάτῳ, ἐν ᾧ οὐ θεωρεῖται τὸ τοῦ χρόνου διάστημα, ἀλλὰ μᾶλλον τὸ διηνεκῶς χωρισθῆναι τῆς ἑταιρείας τῶν ζώντων, καὶ οὕτως τὸ ἐπ' αὐτῷ παριστᾷ τὴν ἀϊδιότητα τῆς θεόθεν ἐπαγομένης κολάσεως· δίκαιον μέντοι ἐστί, κατὰ τὸν Γρηγόριον, τὸν ἐν τῷ ἑαυτοῦ ἀϊδίῳ ἁμαρτόντα εἰς τὸν Θεὸν ἐν τῷ ἀϊδίῳ τοῦ Θεοῦ κολάζεσθαι. Λέγεται δέ τις ἐν τὸ ἑαυτοῦ ἀϊδίῳ ἁμαρτεῖν οὐ μόνον κατὰ τὴν τῆς ἐνεργείας συνέχειαν ἐν ὅλῃ τῇ τοῦ ἀνθρώπου ζωῇ διαμένουσαν, ἀλλ' ὅτι καὶ ἐξ αὐτοῦ τούτου τοῦ μηδὲν τέλος ἐν τῇ ἁμαρτίᾳ ἐνστήσασθαι παρίστησι βούλεσθαι συνεχῶς ἁμαρτάνειν καὶ αἰωνίως, εἰ οἷόν τε ἦν· ὅθεν φησὶν ὁ Γρηγόριος ἐν τῷ εἰκοστῷ ἐννάτῳ τῶν ἠθικῶν, ὅτι οἱ ἄνομοι ἠθέλησαν ἂν ἀεὶ ζῆν, ἵν' ἐξῇ τούτοις ἐν ταῖς ἀνομίαις αὐτῶν ἀεὶ διαμένειν. Καὶ αὖθις εἰ λέγοι τις, ὅτι αἱ κολάσεις ἰατρεῖα εἰσίν, ὡς ἐν τῷ δευτέρῳ τῶν ἠθικῶν λέγεται, οὐδεμία δὲ ἰατρεία ἄπειρος, πρός τι τέλος οὖσα, ἀλλὰ δεῖ λέγειν, ὅτι καὶ ἡ κατὰ τοὺς ἀνθρωπίνους νόμους ἐπαγομένη δίκη οὐκ ἀεὶ ἰατρική ἐστι τῷ κολαζομένῳ, ἀλλὰ μόνον τοῖς ἄλλοις, ὥσπερ ὅταν ὁ λῃστὴς ἀναρτᾶται, οὐκ αὐτὸς θεραπεύεται, ἀλλ' οἱ ἄλλοι, ἵνα τοὐλάχιστον τῷ φόβῳ τῆς κολάσεως τοῦ ἁμαρτάνειν ἀποσταῖεν, κατὰ τὸ ἐννεακαιδέκατον τῶν Παροιμιῶν· „Τοῦ κακοῦ παιδευομένου, ὁ ἀνόητος σοφώτερος ἔσται". Οὕτω τοίνυν αἱ παρὰ τοῦ Θεοῦ ἐπαγόμεναι τοῖς ἁμαρτωλοῖς ἀτελεύτητοι κολάσεις ὥσπερ ἰατρεῖαί τινές εἰσι τοῖς τῷ δέει τούτων τῶν ἁμαρτιῶν ἀπεχομένοις, κατὰ τὸ ἐν Ψαλμοῖς· „Ἔδωκας τοῖς φοβουμένοις σε σημείωσιν τοῦ φυγεῖν ἀπὸ προσώπου τόξου, ὅπως ἂν ῥυσθῶσιν | οἱ ἀγαπητοί σου". f. 147

4. Τέταρτον, ὅτι τῇ ἁμαρτίᾳ οὐκ ἄπειρος κατὰ ποσότητα τιμωρία ὀφείλεται· οὕτω γὰρ ἂν ἦσαν πάντων τῶν θανασίμων αἱ τιμωρίαι ἴσαι, διότι τοῦ ἀπείρου οὐδέν ἐστι μεῖζον.

Ἔτι, τῇ ἁμαρτίᾳ ἀνάλογος τιμωρία ὀφείλεται· ἡ δὲ ἁμαρτία, κατὰ

---

29 Prov. 19, 25 33 Ps. 59, 6

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τὴν μὲν ἀπὸ τοῦ Θεοῦ ἀποστροφὴν ἀπείρου ὄντος ἀγαθοῦ, ἄπειρος· κατὰ δὲ τὴν πρὸς τὸ μεταβλητὸν ἀγαθὸν ἐπιστροφὴν πεπερασμένον ὄν, καὶ αὐτὴν οὖσαν πεπερασμένην, ἅτε κτίσματος ἐνέργειαν οὖσαν, ἔστι περασμένη. Οὕτως καὶ ἡ κόλασις κατὰ μὲν τὴν ἀποβολὴν τοῦ ἀπείρου ἀγαθοῦ ἄπειρός ἐστι στέρησις· κατὰ δὲ τὴν ἄτακτον ἐπιστροφήν, πεπερασμένη ἐστὶ πεῖρα· ἀνταποκρίνεται γὰρ τῇ μὲν ἀποστροφῇ ἡ στέρησις, τῇ δὲ ἐπιστροφῇ ἡ πεῖρα.

5. Πέμπτον, ὅτι οὐ πᾶν ἁμάρτημα κόλασιν αἰωνίαν ἐπάγει, τοῦ Γρηγορίου λέγοντος ἐν τετάρτῳ τῶν Διαλόγων, ὅτι ποιναὶ τῶν κουφοτέρων ἁμαρτημάτων μετὰ τὴν παροῦσαν ζωὴν συγχωροῦνται, οἷον ὅταν τις, εἰ καὶ σφοδρῶς τινι τῶν προσκαίρων προσπάσχοι, οὐ μὴν ἐκείνου ἕνεκα θέλοι τῷ Θεῷ προσκρούειν ἐναντιούμενος τῷ ἐκείνου προστάγματι.

6. Ἕκτον, ὅτι ἡ τῆς κολάσεως ἐνοχὴ μένει μετὰ τὴν τῆς ἁμαρτίας συγχώρησιν. Ἐν γὰρ δωδεκάτῳ τῆς δευτέρας τῶν Βασιλειῶν λέγεται, ὅτι ὁ Ναθὰν εἶπε πρὸς Δαυίδ· „Καὶ Κύριος ἀφεῖλεν ἀπὸ σοῦ τὸ ἁμάρτημά σου· οὐκ ἀποθάνῃ· πλήν, ἐπεὶ βλασφημῆσαι τοὺς ἐχθροὺς πεποίηκας τὸ ὄνομα Κυρίου, ὁ υἱός ὁ γεννηθείς σοι θανάτῳ ἀποθανεῖται". Κολάζεταί τις ἄρα παρὰ Θεοῦ καὶ μετὰ τὸ αὐτῷ τὴν ἁμαρτίαν συγχωρηθῆναι, καὶ οὕτως ἡ τῆς δικαιοσύνης ἐνοχὴ μένει, καὶ τῆς ἁμαρτίας ἀναιρεθείσης· μένει γὰρ ὁ ῥύπος, ὡς εἴρηται, καὶ παυσαμένης τῆς τοῦ ἁμαρτήματος ἐνεργείας· τοῦ δὲ ῥύπου μένοντος, καὶ ἡ ἐνοχὴ μένει· παυσαμένου δὲ αὐτοῦ, οὐ μένει ἡ ἐνοχή.

Εἰ δέ τις λέγοι μὴ δεῖν τῷ πεπαυμένῳ τῆς ἁμαρτίας σπουδαίῳ ὄντι ὀφείλεσθαι τιμωρίαν, ἀληθὲς μέν ἐστι τοῦτο ἁπλῶς· ὡς μέντοι γε ἱκανοποιητικὴ τιμωρία, ὀφείλεται· καὶ αὐτὸ γὰρ ἀρετῆς ἐστι τὸ ἱκανοποιεῖν ὑπὲρ ὧν προσέκρουσεν Θεῷ, ἢ ἀνθρώπῳ.

f. 147ᵛ 7. Ἕβδομον, ὅτι πᾶσα τιμωρία διά τινα ἁμαρτίαν ἐπάγεται· λέγεται γὰρ ἐν τετάρτῳ τοῦ Ἰώβ· „Τίς ἀθῷος ἀπώλετο, ἢ πότε οἱ εὐθεῖς ἐξηλείφθησαν;" Μᾶλλον μὲν οὖν εἶδον τοὺς τὴν ἀνομίαν ἐργαζομένους, Θεοῦ διδόντος, ἀπολωλότας.

Δοκεῖ δὲ προσίστασθαι τὸ ἐν τῷ ἐννάτῳ τῷ κατὰ Ἰωάννην· „Οὔτε οὗτος ἥμαρτεν, οὔτε οἱ γονεῖς αὐτοῦ, ἵνα τυφλὸς γεννηθῇ", καὶ τὸ συμβαῖνον πολλοῖς τῶν παίδων, καὶ τῶν βεβαπτισμένων, ὅτι πυρετοὺς πάσχουσι καὶ δαιμονίων ἐπιφορὰς καὶ τὰ τοιαῦτα, μηδενὸς ὄντος αὐτοῖς ἁμαρτήματος μετὰ τὸ βάπτισμα, οὔτε πρὸ τοῦ βαπτίσματος, πλείονος ἢ τοῖς ἄλλοις παισὶ τοῖς μὴ πάσχουσιν· δεύτερον, ὅτι τοῦ αὐτοῦ λόγου δοκεῖ εἶναι τό τε τοὺς ἁμαρτωλοὺς εὐτυχεῖν καὶ τὸ τοὺς δικαίους κολάζεσθαι, ἑκάτερον δὲ τούτων συνεχῶς ἐν τοῖς ἀνθρώποις εὑρίσκεται· λέγεται γὰρ περὶ τῶν

---

15 II Reg. 12, 13 28 Iob, 4, 5 *ἐξηλείφθησαν* sic A

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἀνόμων ἐν τοῖς Ψαλμοῖς· „Ἐν πόνοις ἀνθρώπων οὐκ εἰσί· μετὰ ἀνθρώπων οὐ μαστιγωθήσονται“· καὶ ἐν τῷ Ἰώβ· „Οἱ ἀσεβεῖς ζῶσιν, ἐπήρθησαν, ἴσχυσάν τε πλούτῳ“· καὶ ἐν τῷ πρώτῳ τοῦ Ἀββακούκ· „Διατί ἐπιβλέπεις ἐπὶ τοὺς καταφρονητάς, καὶ σιωπᾷς, καταπατοῦντος τοῦ ἀσεβοῦς τὸν δικαιότερον ἑαυτοῦ;“

Πρὸς μὲν οὖν τὸ πρῶτον δεῖ λέγειν, ὅτι ἀποτελέσματά εἰσι τῆς προγονικῆς ἁμαρτίας αἱ τῶν ἄρτι γεννητῶν ἀσθένειαι· μένουσι δὲ καὶ μετὰ τὸ βάπτισμα διὰ τὴν εἰρημένην ἀνωτέρω αἰτίαν· τὸ δὲ μὴ ἐπίσης ἐν πᾶσιν εἶναι συμβαίνει διὰ τὴν τῆς φύσεως διαφορὰν ἑαυτῇ ἀφειμένης, ὡς εἴρηται. Τάττονται δὲ ταῦτα κατὰ τὴν θείαν πρόνοιαν καὶ πρὸς τὴν τῶν ἀνθρώπων σωτηρίαν, ἢ αὐτῶν τῶν πασχόντων, ἢ ἄλλων, τῶν ταῖς τιμωρίαις τούτων νουθετουμένων, ἀλλὰ δὴ καὶ πρὸς δόξαν Θεοῦ.

Πρὸς τὸ δεύτερον, ὅτι τῇ θείᾳ δικαιοσύνῃ οἰκεῖόν ἐστι διδόναι τοῖς ἐναρέτοις τὰ πνευματικὰ ἀγαθά, ἃ μεγάλα εἰσὶν ἀγαθά, τῶν δὲ προσκαίρων τοσοῦτον ὅσον ἀρκεῖ πρὸς τὴν ἀρετήν, τοῦ Διονυσίου λέγοντος, ὅτι τῆς θείας δικαιοσύνης ἐστὶ μὴ μαλλάττειν τὴν τῶν ἀρίστων ἰσχὺν ταῖς τῶν ὑλικῶν δωρεαῖς, ἑτέροις δὲ τὸ δίδοσθαι αὐτοῖς τὰ πρόσκαιρα εἰς κακὸν τῶν πνευματικῶν ἀποβαίνει· ὅθεν συμπεραίνεται ἐν τοῖς Ψαλμοῖς· „Διὰ τοῦτο | ἐκράτησεν αὐτοὺς ἡ ὑπερηφανία εἰς τέλος“. f. 148

8. Ὄγδοον, ὅτι ἕτερος ὑπὲρ τῆς ἑτέρου ἁμαρτίας οὐ κολάζεται. Λέγεται γὰρ ἐν δεκάτῳ ὀγδόῳ τοῦ Ἰεζεκιήλ· „Υἱὸς οὐ βαστάσει τὴν ἀνομίαν τοῦ πατρός, οὐδὲ δοῦλος δηλονότι τοῦ δεσπότου“, ὅσον κατὰ ψυχήν· κατὰ γὰρ τὴν ψυχὴν ὁ υἱὸς οὐκ ἔστι τοῦ πατρὸς κτῆμα· διὸ καὶ ὁ Κύριος ἐν τῷ αὐτῷ μέρει τοῦ Ἰεζεκιὴλ τὴν αἰτίαν ἀποδιδούς, φησί· „Πᾶσαι αἱ ψυχαὶ ἐμαί εἰσιν“. Ὅσον δὲ κατὰ τὸ σῶμα, τὴν μὲν ἱκανοποιητικὴν δίκην ἄλλος ἄλλου ἑκουσίως ἀναλαμβάνομεν, καθόσον ἕν ἐσμεν τρόπον τινά· τὴν δὲ κολαστικὴν ἕκαστος ὑπὲρ ἑαυτοῦ μόνου δίδωσιν· τὴν δὲ ἰατρευτικὴν καὶ Θεῷ καὶ ἀνθρώποις δίδωσι δίκην καὶ υἱὸς ὑπὲρ πατρός, καὶ δοῦλος ὑπὲρ δεσπότου, καθόσον οὗτοι κτήματα ἐκείνων εἰσίν, εἰ μὴ εἶεν τῆς ἁμαρτίας ἐκείνων κοινωνοί· τάττεται γὰρ ἡ δίκη πρὸς τὸ ψυχικὸν αὐτῶν ἀγαθόν, εἰ μακροθύμως ὑπομένειεν· εἰ δὲ κοινωνοὶ εἶεν, καὶ αὐτοῖς λόγον κολάσεως ἡ δίκη ἔχει, τοὐλάχιστον συντιθεμένοις τῷ ἁμαρτήματι.

## LXXXVIII. — Περὶ τῆς πρὸς ἄλληλα παραθέσεως τοῦ θανασίμου καὶ συγγνωστοῦ ἁμαρτήματος.

1. Περὶ τοῦτο πρῶτον δείκνυται, ὅτι τὸ συγγνωστὸν ἁμάρτημα δεόντως ἀντιδιαιρεῖται τῷ θανασίμῳ· ἀντίκεινται γὰρ τῇ μὲν λέξει μεταφορι-

---

**1** Ps. 72, 5 **2** Iob, 21, 7 **3** Habac. 1, 13 **18** Ps. 72, 6 **21** Ezech. 18, 20 **24** Ezech. 18, 4 **34** Autre titre à la marge supérieure de A: *ὅπως ἔχει τὸ συγγνωστὸν ἁμάρτημα πρὸς τὸ θανάσιμον*

ΙΩΑΝΝΙΝΑ 2006

κῶς· τὸ γὰρ θανάσιμον κυρίως εἰς τὸν σωματικὸν ἀνάγεται θάνατον· τῇ δὲ ἐννοίᾳ, ὁμολογουμένως. Ἐπεὶ γὰρ ἡ ἁμαρτία ἀσθένειά ἐστι τῆς ψυχῆς, λέγεταί τι θανάσιμον καθ' ὃ ἐπάγει στέρησιν, τῆς ἀρχῆς ἀνῃρημένης, ἀδιόρθωτον· ἀρχὴ δὲ τῆς πνευματικῆς ἐναρέτου ζωῆς ἡ πρὸς τὸ ἔσχατον τέλος τάξις ἐστίν, ἥτις εἰ ἀναιρεθείη, οὐ δύναται διά τινος ἔνδον ἀρχῆς ἐπιδιορθωθῆναι, ἀλλὰ μόνον θείᾳ δυνάμει· αἱ γὰρ τῶν πρὸς τὸ τέλος ἀταξίαι ἐκ τοῦ τέλους δέχονται τὴν διόρθωσιν, ὡς ἡ περὶ τὰ συμπεράσματα πλάνη ἐκ τῆς τῶν ἀρχῶν ἀληθείας· ἡ δὲ περὶ τὴν τάξιν τοῦ ἐσχάτου τέλους στέρησις οὐ δύναται διά τινος ἀρχοειδεστέρου διορθωθῆναι, ὥσπερ οὐδὲ ἡ περὶ τὰς ἀρχὰς πλάνη, καὶ διὰ τοῦτο τὰ τοιαῦτα ἁμαρτήματα θανάσιμα λέγονται, ὡς ἂν ἀδιόρθωτα· τὰ δὲ ἔχοντα ἐν τοῖς πρὸς τὸ τέλος
f. 148ᵛ τὴν ἀταξίαν διόρθωσιν δεχόμενα, σῳζομένης | τῆς πρὸς τὸ ἔσχατον τέλος τάξεως, συγγνωστά. Τότε γὰρ συγγνώμη δίδοται τῷ ἁμαρτωλῷ, ὅταν ἡ τῆς τιμωρίας ἐνοχὴ ἀναιρεθῇ, ἢ παυήται, παυσαμένης τῆς ἁμαρτίας, ὡς εἴρηται. Κατὰ τοῦτο τοίνυν τὸ θανάσιμον ἀντίκειται τῷ συγγνωστῷ ὡς τὸ διορθωτὸν καὶ ἀδιόρθωτον· τοῦτο δέ φημι διά τινος ἀρχῆς ἔνδον, οὐ μὴν τῇ πρὸς τὴν θείαν δύναμιν παραθέσει, ἢ πᾶσαν νόσον, καὶ σωματικὴν καὶ πνευματικήν, δύναται διορθώσασθαι.

2. Δεύτερον, ὅτι τὸ συγγνωστὸν καὶ τὸ θανάσιμον ἁμάρτημα διαφέρουσι γένει.

3. Τρίτον, ὅτι τὸ συγγνωστὸν διάθεσίς τις ἐστὶ πρὸς τὸ θανάσιμον. Λέγεται γὰρ ἐν ὀγδόῳ τοῦ Ἐκκλησιαστοῦ· „Ὁ τῶν ἐλαχίστων καταφρονῶν κατὰ μικρὸν παραρρεῖ“. Εἰ δὲ καὶ θάτερον τῶν ἀντικειμένων οὐ διατίθησι πρὸς τὸ ἀντικείμενον, ἀλλ' οὐκ ἀντικειμένως ταῦτα διαιροῦνται ὡς δύο εἴδη ἑνὸς γένους, ἀλλ' ὡς τὸ συμβεβηκὸς καὶ ἡ οὐσία· τὸ δὲ συμβεβηκὸς δύναται εἶναι διάθεσις πρὸς τὸ οὐσιῶδες εἶδος· οὕτω καὶ τὸ συγγνωστὸν πρὸς τὸ θανάσιμον.

4. Τέταρτον, ὅτι τὸ συγγνωστὸν οὐ δύναται γενέσθαι θανάσιμον· ἐπ' ἄπειρον γὰρ διαφέροντα πῶς μεταβαλεῖ εἰς ἄλληλα; Πολλὰ μέντοι συγγνωστὰ ἁμαρτήματα ποιοῦσιν ἓν θανάσιμον κατὰ διάθεσιν.

5. Πέμπτον, ὅτι ἡ περίστασις οὐ ποιεῖ ἀπὸ συγγνωστοῦ θανάσιμον· ἀεὶ γὰρ ἡ ἐνέργεια ἐκ τοῦ ἑαυτῆς γένους συγγνωστὴ οὖσα ὑπερβάλλει περίστασιν συμβεβηκότος, οὖσαν ποσότητα. Ἔνια δὲ τῶν ἁμαρτημάτων κατὰ τὸ ἀποτέλεσμα γίνονται συγγνωστὰ ἢ θανάσιμα, οἷον ἡ ὀργή, κατὰ τὸ μέτρον τῆς βλάβης τοῦ πλησίον. Εἰ μὲν γὰρ ἡ βλάβη φόνος ἢ κλοπὴ εἴη, ἤ τι τοιοῦτον, θανάσιμος ἡ ὀργή, εἰ καὶ αὕτη δύναται διὰ τὸ τῆς ἐνεργείας ἀτελὲς συγγνωστὴ εἶναι, ὡς ἀθρόα κίνησις τοῦ αἰσθητικοῦ μέρους. Εἰ δὲ ἡ βλάβη λόγος τις εἴη ληπῆσαι μετρίως δυνάμενος, ἔστι

22 Eccli. 19, 1

Ε.Υ.Δ της τ.τ.τ. ΙΩΑΝΝΙΝΑ 2006

συγγνωστὴ ἡ ὀργή, εἰ μὴ εἴη μόνιμος καὶ εἰ μὴ ἐκ τούτου σκάνδαλον ἀναφύοιτο. Ἔνια δὲ τῶν ἁμαρτημάτων κατὰ τὸν ἑαυτῶν λόγον εἰσὶ θανάσιμα, ὡς ἡ μέθη, κἂν μὴ δοκῇ· τὸ γὰρ ἄνευ τινὸς ἀνάγκης τοιοῦτον ἑαυτὸν ἀποδεικνύναι τινὰ ὥστ' ἀδύνατον | εἶναι χρῆσθαι τῷ λόγῳ, δι' οὗ f. 149 πρὸς Θεὸν ὁ ἄνθρωπος τάττεται καὶ πολλὰ τῶν ἁμαρτημάτων ἐπιόντα φυλάττεται, διὰ τὴν ἐν τῷ οἴνῳ ἡδονὴν διαρρήδην τῇ ἀρετῇ ἐστιν ἐναντίον· τὸ δὲ εἶναι συγγνωστὴν τὴν μέθην διά τινα ἄγνοιαν ἢ ἀσθένειαν συμβαίνει, οἷον εἴ τις τὴν τοῦ οἴνου δύναμιν ἀγνοοῖ, ἢ τὴν ἰδίαν χαυνότητα· συνεχῶς δὲ μεθύων οὐ δύναται ἀπολογίαν ἔχειν τὴν ἄγνοιαν.

Ἕκτον, ὅτι τὸ θανάσιμον οὐδέποτε γίνεται συγγνωστόν, εἴπερ μηδὲ τὸ αἰώνιον δύναται πρόσκαιρον γίνεσθαι. Εἰ δὲ τὸ συγγνωστὸν γίνεταί ποτε θανάσιμον, οὐδὲν θαυμαστόν· τὸ γὰρ συγγνωστὸν τοῦ θανασίμου διαφέρει ὡς τὸ ἀτελὲς τοῦ τελείου, ὥσπερ ὁ παῖς, τοῦ ἀνδρός· δῆλον οὖν ὅτι ἐκ παιδὸς ἀνὴρ γίνεται, καὶ οὐ τὸ ἀνάπαλιν.

## LXXXIX. — Περὶ τοῦ συγγνωστοῦ ἁμαρτήματος καθ' αὑτό.

1. Περὶ οὗ πρῶτον δείκνυται, ὅτι τὸ συγγνωστὸν ἁμάρτημα οὐκ ἔστιν αἴτιον ῥύπου ἐν τῇ ψυχῇ· τοῦτο γὰρ ἴδιον τοῦ θανασίμου τὸ ῥύπον ἐν τῇ ψυχῇ ποιεῖν· θανάσιμον δὲ καὶ συγγνωστὸν γένει διακρίνονται, ὡς προείρηται.

3. Δεύτερον, ὅτι ὁ ἄνθρωπος ἐν τῇ τῆς ἀπαθείας καταστάσει οὐκ ἂν ἠδύνατο συγγνωστῶς ἁμαρτεῖν· ἑκάστῳ γὰρ ἁμαρτήματι ὀφείλεταί τις δίκη· οὐδὲν δὲ ἐπαχθὲς ἠδύνατο εἶναι ἐν τῇ τῆς ἀπαθείας καταστάσει, ὥς φησιν Αὐγουστῖνος.

Ἔτι, οὐκ ἂν ἠδύνατο περιπεσεῖν ἁμαρτίᾳ τινί, δι' ἧς οὐκ ἂν ἐξέπεσε τῆς ἀκεραιότητος ἐκείνης· τὸ δὲ συγγνωστὸν ἁμάρτημα οὐκ ἐξαλλάττει τὴν τοῦ ἀνθρώπου κατάστασιν.

4. Τρίτον, ὅτι οὐδὲ ὁ ἄγγελος δύναται συγγνωστῶς ἁμαρτάνειν· ἡ γὰρ τοῦ ἀγγέλου τελειότης μείζων ἐστὶν ἢ ἡ τοῦ ἀνθρώπου ἐν τῇ πρώτῃ καταστάσει· εἰ γοῦν ὁ ἄνθρωπος οὐκ ἂν ἠδύνατο συγγνωστῶς ἁμαρτάνειν, πολλῷ ἧττον ὁ ἄγγελος.

Ἔτι, ὁ ἄγγελος οὕτω νοεῖ τὰ συμπεράσματα καθόσον εἰσὶν ἐν ταῖς ἀρχαῖς οὐ κατὰ τὸν μεταβατικὸν ἡμῶν τρόπον. Εἰσὶ δὲ ἐν τοῖς ὀρεκτοῖς τὰ τέλη ὡς ἀρχαί, τὰ δὲ πρὸς τὸ τέλος οἷον συμπεράσματα· ὅθεν ὁ τοῦ ἀγγέλου νοῦς οὐ φέρεται ἐπ' ἐκεῖνα ὥσπερ εἰς τέλος, εἰ μὴ καθ' ὅ εἰσιν ὑπὸ τὴν τάξιν τοῦ τέλους· ὅθεν κατὰ φύσιν αὐτοῖς ἐστι | τὸ μὴ δύνασθαι f. 149v εἶναι ἐν αὐτοῖς ἀταξίαν περὶ τὰ πρὸς τὸ τέλος, εἰ μὴ καὶ περὶ τὸ τέλος ἐστὶν ἡ αὐτὴ ἀταξία, ὅ ἐστι τὸ θανάσιμον ἁμάρτημα. Οἱ μὲν οὖν ἀγαθοὶ ἄγγελοι οὐ κινοῦνται ἐπὶ τὰ πρὸς τὸ τέλος εἰ μὴ ἐν τῇ πρὸς τὸ ὀφειλόμενον τέλος τάξει, ὅπερ ἐστὶν ὁ Θεός, καὶ διὰ τοῦτο πᾶσαι αἱ τούτων

ΙΩΑΝΝΙΝΑ 2006

ἐνέργειαι ἀγάπης εἰσὶν ἐνέργειαι, καὶ οὕτως ἐν αὐτοῖς ἀδύνατον εἶναι ἁμάρτημα συγγνωστόν. Οἱ δὲ πονηροὶ εἰς οὐδὲν κινοῦνται εἰ μὴ ἔν τινι τάξει τῇ πρὸς τὸ τέλος αὐτῶν, τουτέστι τοῦ ἁμαρτήματος τῆς ὑπερηφανίας, καὶ διὰ τοῦτο ἐν πᾶσι θανασίμως ἁμαρτάνουσιν.

5. Τέταρτον, ὅτι αἱ πρῶται κινήσεις τοῦ αἰσθητικοῦ μέρους ἐν τοῖς ἀπίστοις οὐκ εἰσὶ θανάσιμα ἁμαρτήματα· Ἐν γὰρ τῷ δεκάτῳ τῶν Πράξεων· „Οὐκ ἔστι προσωπόληψις παρὰ τῷ Θεῷ“. Ὁ ἄρα οὐ λογίζεται ὁ Θεὸς ἑνὶ εἰς κρίσιν, οὐδ᾽ ἄλλῳ· ἀλλὰ τὰς πρώτας κινήσεις οὐ λογίζεται εἰς κατάκρισιν τοῖς πιστοῖς· οὐδ᾽ ἄρα τοῖς ἀπίστοις.

6. Ἰστέον ὅτι τὸ συγγνωστὸν ἁμάρτημα οὐκ ἔστι διάθεσις ἐξ ἀνάγκης προηγουμένη τοῦ θανασίμου, ἀλλ᾽ ἐνδεχομένως, ὥσπερ ὁ πόνος διατίθησι πολλάκις πρὸς τὸν πυρετόν, οὐ μὴν ὡς ἡ θέρμη διατίθησι πρὸς τὸ τοῦ πυρὸς εἶδος.

## De la loi.

### XC. — Περὶ νόμου καθόλου, καὶ πρῶτον περὶ τῆς οὐσίας αὐτοῦ.

1. Περὶ ὃ πρῶτον δείκνυται, ὅτι ὁ νόμος τοῦ λόγου ἐστίν. Τοῦ γὰρ νόμου ἐστὶ προστάττειν, κωλύειν· τὸ δὲ προστάττειν τοῦ λόγου ἐστίν, ὡς προείρηται, ὥστε καὶ ὁ νόμος τι τοῦ λόγου ἐστίν, εἰ δὴ καὶ ὁ νόμος κανών ἐστιν ἢ μέτρον τῶν πράξεων· νέμει γὰρ καὶ διαιρεῖ ὅσον δεῖ τοὺς ἀνθρώπους πράττειν ὀρθῶς πράξοντας· ταῦτα δέ ἐστι καὶ ὁ λόγος, ὅς ἐστι πρώτη ἀρχὴ τῶν ἀνθρωπίνων ἐνεργειῶν διὰ τὸ αὐτὸν μὲν τάττειν πρὸς τὸ τέλος, ὃ πρώτη ἀρχὴ ἐν τοῖς πρακτοῖς· ἐν ἑκάστῳ δὲ γένει τὴν ἀρχὴν μέτρον εἶναι καὶ κανόνα τοῦ γένους, ὡς ἡ μονὰς ἐν τῷ τοῦ ἀριθμοῦ γένει, καὶ ἡ πρώτη κίνησις ἐν ταῖς κινήσεσιν, καὶ διὰ τοῦτο ὁ νόμος εἰς τὸν λόγον ἀνήκει. Ἔστι δὲ ὁ νόμος ἐν τῷ λόγῳ ὡς ἐν τῷ μετροῦντι καὶ κανόνι ζῶντι, εἰ καὶ ἄλλον τρόπον καὶ ἐν τοῖς κανονιζομένοις μεθεκτῶς, οὐχ οὐσιωδῶς.

f. 150 2. Δεύτερον, ὅτι ὁ νόμος ἀεὶ τέτακται ὥσπερ εἰς τέλος [εἰς] τὸ κοινὸν ἀγαθόν. Εἰ γὰρ καὶ προστάγματά τινα τάττονται πρὸς τὸ μερικὸν ἀγαθόν, τοῦ νόμου δέ ἐστι τὸ προστάττειν καὶ κωλύειν, ἀλλὰ τὸ πρόσταγμα νόμου προσαγωγὴν σημαίνει πρὸς τὰ ὑπὸ τοῦ νόμου κανονιζόμενα· ἡ δὲ πρὸς τὸ κοινὸν ἀγαθὸν τάξις δύναται προσάγεσθαι πρὸς τὰ μερικὰ τέλη, καὶ κατὰ τοῦτο καὶ περὶ μερικῶν τινων δίδονται προστάγματα.

3. Τρίτον, ὅτι οὐ παντὸς ἀνθρώπου λόγος ποιητικός ἐστι νόμου. Ὁ γὰρ νόμος κυρίως καὶ πρώτως καὶ ἀρχοειδῶς εἰς τὴν τοῦ κοινοῦ ἀγαθοῦ τάξιν ὁρᾷ· τὸ δὲ τάττειν τι εἰς τὸ κοινὸν ἀγαθὸν ἢ ὅλου ἐστὶ τοῦ πλή-

---

7 Act. 10, 34  16 *ὁ Θεὸς ἐκδιδάσκει νόμῳ καὶ χάριτι βοηθεῖ* add A

Ε.Ρ.Δ της Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006

θους, ἢ τινος τοῦ τὴν τοῦ πλήθους ὅλου δύναμιν ἀναδεδειγμένον, καὶ διὰ τοῦτο συντιθέναι νόμον ἢ ὅλου τοῦ πλήθους ἐστίν, ἢ δημοσίου τινὸς προσώπου, ὃ τὴν ὅλου τοῦ πλήθους ἔχει φροντίδα, ἐπεὶ καὶ ἐν πᾶσι τοῖς ἄλλοις τὸ εἰς τὸ τέλος τάττειν ἐκείνου ἐστίν, οὗ ἐστι καὶ τὸ τέλος ἐκεῖνο.

4. Τέταρτον, ὅτι ἡ διαγγελία ἐν τῷ τοῦ νόμου λόγῳ ἐστίν· κυροῦνται γὰρ οἱ νόμοι διαγγελθέντες· ἡ δὲ τοῦ φυσικοῦ νόμου διαγγελία ἐστὶν ἐν τῷ τὸν Θεὸν αὐτὸν ταῖς τῶν ἀνθρώπων διανοίαις ἐγκεντρίσαι φυσικῶς γινωσκομένην.

## XCI. — Περὶ τῆς τῶν νόμων διαφορᾶς.

1. Περὶ ὃ πρῶτον δείκνυται, ὅτι ἔστι τις νόμος αἰώνιος. Οὐδὲν γὰρ ἕτερόν ἐστιν ὁ νόμος ἢ διάταξίς τις τοῦ πρακτικοῦ λόγου ἐν τῷ ἄρχοντι, ὃς κυβερνᾷ τινα τελείαν κοινότητα· ὑποκειμένου δὲ τοῦ τὸν κόσμον θείᾳ διοικεῖσθαι προνοίᾳ, φανερόν ἐστιν, ὅτι ὅλη ἡ τοῦ παντὸς κοινότης κυβερνᾶται τῷ θείῳ λόγῳ, καὶ διὰ τοῦτο αὐτὸς ὁ ἐν τῷ Θεῷ Λόγος, τῆς κυβερνήσεως τῶν πραγμάτων ὥσπερ ἔν τινι ἄρχοντι τοῦ παντὸς ὤν, νόμου λόγον ἔχει· καὶ ἐπεὶ ὁ θεῖος Λόγος οὐδὲν ἀπὸ χρόνου νοεῖ, ἀλλ᾽ ἀΐδιον ἔχει τὴν νόησιν, ὡς λέγεται ἐν τῷ ὀγδόῳ τῶν Παροιμιῶν, ἐντεῦθεν ἀνάγκη καὶ τὸν τοιοῦτον νόμον ἀΐδιον λέγεσθαι. Εἰ δὲ οἷός ἐστιν οὗτος ὁ νόμος, τὰ | ὄντα δηλονότι οὐκ εἰσὶν ἐξ ἀϊδίου, ἀλλ᾽ ἐν ἑαυτοῖς μὲν εἰσίν, ἐν τῷ f. 150v
Θεῷ δὲ ὑφίστανται καθόσον προέγνωσται καὶ προδιατέτακται ὑπ᾽ αὐτοῦ, κατὰ τὸ τέταρτον τῆς πρὸς Ῥωμαίους· „Ὁ καλῶν τὰ μὴ ὄντα ὡς ὄντα“, καὶ οὕτως ἡ ἀΐδιος τοῦ θείου νόμου νόησις λόγον ἔχει ἀϊδίου νόμου· τάττεται δὲ ὑπὸ τοῦ Θεοῦ πρὸς διοίκησιν τῶν ὑπ᾽ αὐτοῦ προεγνωσμένων πραγμάτων.

2. Δεύτερον, ὅτι ἔστι τις ἐν ἡμῖν φυσικὸς νόμος. Φησὶ γὰρ ὁ Παῦλος ἐν δευτέρῳ τῆς πρὸς Ῥωμαίους· „Ἔθνη, τὰ μὴ νόμον ἔχοντα, φύσει τὰ τοῦ νόμου ποιεῖ“, ἑκάστου νοοῦντος καὶ συνειδότος ἑαυτῷ τί ἐστι τὸ ἀγαθὸν καὶ τί τὸ κακόν· ἔστι δὲ ὁ φυσικὸς μετοχή τις τοῦ ἀϊδίου.

3. Τρίτον, ὅτι ἔστι τις νόμος ἀνθρώπινος.

4. Τέταρτον, ὅτι ἀναγκαῖον ἦν εἶναί τινα ἄλλον νόμον θεῖον διὰ δύο αἰτίας· πρῶτον, ὅτι ὁ ἄνθρωπος τάττεται πρὸς τὸ τέλος τῆς ἀϊδίου μακαριότητος, ὃ τὴν ἀναλογίαν τῆς ἀνθρωπίνης δυνάμεως ὑπερβαίνει, καὶ διὰ τοῦτο ὑπὲρ τὸν φυσικὸν καὶ τὸν ἀνθρώπινον νόμον ἰθύνεσθαι τὸν ἄνθρωπον ἐχρῆν εἰς ἐκεῖνο τὸ τέλος καὶ νόμῳ θεόθεν τεθέντι· δεύτερον, ὅτι διὰ τὸ ἀβέβαιον τῆς ἀνθρωπίνης κρίσεως, μάλιστα τῆς περὶ τὰ ἐνδεχόμενα καὶ μερικά, συμβαίνει περὶ τῶν ἀνθρωπίνων πράξεων διαφόρους εἶναι καὶ τὰς κρίσεις, ἐξ ὧν διάφοροι καὶ ἐναντίοι νόμοι προΐασιν· ἵνα τοίνυν

---

8 *γινωσκομένην* sic A 22 Rom. 4, 17 27 Rom. 2, 14

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006